αἰτίας, ἐκεῖνο οὗ ταῦτα ἔσχατα ἡ ὕλη ἦν, φανερὸν οὖν ὅτι οὐκ ἔστι μέγεθος ἡ ὕλη, τὸ γὰρ μέγεθος ἐν ὕλῃ ἐστὶν, ἀλλ' οὐχ ἡ ὕλη, ὡς λέγεται μορίῳ λα. τοῦ αὐτοῦ βιβλίου. ἔτι δὲ ἦν αὖ ἡ ὕλη καθ' ἑαυτὴν μέγα τε καὶ μικρὸν, καὶ αὐτὴ ἑαυτῇ ἐναντία, οἱ δὲ λόγοι, οἷς σῶμα τὴν ὕλην εἶναι δείκνυται, ἐμπεδοῦσι μὲν τὴν ἀόριστον ἐν ὕλῃ διάστασιν, οὐδὲν δὲ συμβάλλονται εἰς σύστασιν τοῦ σῶμα λέγειν τὴν ὕλην. τὸ γὰρ λεγόμενον, ὅτι τὸ σῶμα ἐστὶ τὸ πρῶτον ὑποκείμενον ἐξ οὗ ἐνυπάρχοντος γίγνεται ἅπαντα, ἀληθὲς μὲν εἰ σῶμα φασὶ τὸ ἀορίστως διαστατὸν, οὐ μὴν τὸ ὡρισμένως ποσόν, ἱκανὴ δὲ ἀρχὴ σωμάτων Φυσικῶν ὁ ἀόριστος ὄγκος τῆς ὕλης, ὁμοίως οὐ φαμὲν ἀδιαίρετον τὴν ὕλην, ἀλλὰ δεκτικὴ τοῦ ὡρισμένου μεγέθους καθ' ἑαυτὴν ἀόριστος οὖσα, καί τοι διαστατὴ, ὡσαύτως καὶ πρὸς τὰ λοιπὰ ῥαδίως ἀπαντήσειεν αὖτις ἐπιστησάμενος ἀκριβῶς τὴν τῆς ὕλης ἀόριστον ἔκτασιν, ἣν ἔνιοι κακῶς ἀνατρέπειν πειρῶνται, ὡς ἔσται δῆλον ἑξῆς.

## Ἔκθεσις τῆς ἀληθείας.

Τοιαύτης οὖν οὔσης ἀμφισβητήσεως ἐν τῷ περιπάτῳ περὶ τοῦ πότερον ἡ ποσότης ἡγεῖται τῶν εἰδῶν συναΐδιος οὖσα τῇ ὕλῃ, ἀγέννητός τε καὶ ἄφθαρτος, ἢ ἕπεται τούτοις. δεῖ πρῶτον ἐπίστασθαι ὅτι ποσότης ἐστὶν ἡ τριαστὴ διάστασις, μέγεθος δὲ τὸ μῆκος ἔχον πλάτος καὶ βάθος, λέγεται τοίνυν ἡ ποσότης αὕτη ἀμέσως ἐνυπάρχειν τῇ πρώτῃ ὕλῃ, ἀορίστως μέν τοι οὐχ ὡς μὴ ἔχουσα ὅρους ἐνεργείᾳ, ἀλλ' ὡς καθ' ἑαυτὴν οὐδενὶ σχήματι ὡρισμένη, ὅρος γὰρ μεγέθους λέγεται τὸ σχῆμα, καὶ τοῦτο παρὰ τῶν εἰδῶν εἰσάγεται τῇ ὕλῃ, ὧν ἐστιν ἴδιον τὸ συνέχειν, καὶ ὁρίζειν, τὸ γὰρ εἶδος κατὰ τὸν Ἀριστοτέλη, ὅρος ἐστὶ καὶ τέλος. κείσθω τοίνυν ἡμῖν ὅτι τῇ ὕλῃ πρὸ τῶν οὐσιωδῶν εἰδῶν, ἀμέσως ἔνεστι τὸ ποσὸν, ἀόριστον μὲν, ἀλλὰ δυνάμενον πολυτρόπως ὁρισθῆναι παρὰ τῶν κατὰ φύσιν ποιούντων κατὰ τὰς διαφόρους ἃς ὑποδέχεται μορφάς, ὥστε τὸ ποσὸν ἁπλῶς οὔτε γίνεσθαι, οὔτε φθείρεσθαι, ἀλλὰ τὸ τοιοῦτον δηλαδὴ τὸ σφαιροειδὲς, ἢ κυβικὸν, ἢ πολύγωνον, ὥσπερ αὖ καὶ μέγεθος κηροῦ διαφόροις σχήμασι μεταπλαττόμενον, ὁτὲ μὲν εἰς σφαῖραν τορνούμενον, ὁτὲ δὲ εἰς πλάτος ἐκτεινόμενον, καὶ εἰς ἄλλα μυρία σχήματα, γίγνεται μὲν ἐκ τοῦ στρογγύλου κυβικὸν, ἀλλὰ τὸ αὐτὸ ἀεὶ σώζει μέγεθος, ὡς τῆς ποσότητος πρὸ τῶν σχημάτων ἐνούσης αὐτῷ. οὕτω τοιγαροῦν καὶ ἡ ὕλη πολυτρόπως εἰδοποιουμένη ἀποβάλλει καὶ τὰ σχήματα, καὶ τοὺς ἐν αὐτῇ ὅρους ἄλλοτε ἄλλους ἐπιδεχομένη, τηρεῖ δὲ ἀεὶ ἀμείωτον τὴν ἐν αὐτῇ ποσότητα, καὶ τὸν αὐτὸν ἀεὶ σώζει ὄγκον, οὐδέποτε ἐλαττουμένη, ἢ αὐξανομέ-



ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νη, τοιγαροῦν ἡ ὕλη τῶν ὑπὸ σελήνην ἁπάντων, ἀπὸ τῆς σεληνιακῆς σφαίρας ἄχρι τοῦ κέντρου, τῷ οἰκείῳ ὄγκῳ οὐδὲν ἀφίησι κενόν, ἀλλὰ πληροῖ τὸ ὑπὸ καὶ ἅπαν διάστημα περιγραφομένη, καὶ περιεχομένη τῇ σεληνιακῇ σφαίρᾳ, καὶ πρὸ ἁπάντων τῶν εἰδῶν θεωρουμένη τὴν τοιαύτην ἔχει διάστασιν. ὥστε ψευδὲς μέν ἐστι τὴν ὕλην οὐσιῶδές τι εἶδος ἔχειν ἐν ἑαυτῇ τὸ σωματικόν, τὸ γὰρ οὐσιῶδες εἶδος εἰδικὸν ἀεὶ σῶμα κατεργάζεται, ἀληθὲς δὲ πρὸ πάντων τῶν εἰδῶν ἐν ὕλῃ οἷον αὐτῆς ἀχώριστον συμβεβηκὸς ὑπάρχειν τὸ ἀόριστον ποσόν. διὸ ἡ πρώτη ὕλη ὄγκον μὲν ἔχει, ἀλλ᾽ οὔτε ὡρισμένον, οὔτε σχήματι περιεχόμενον. διὸ καὶ Ἀριστοτέλης τὸ σῶμα οὐ γεννᾶσθαί φησιν, ἀλλὰ γίγνεσθαι, ἐν δὲ τῷ δευτέρῳ τῶν Φυσικῶν μορίῳ ιέ. ὁ τόπος ᾗ δοκεῖ φησι διάστημα μεγέθους ἡ ὕλη ἐστίν, ὥσπερ γὰρ τὸ διάστημα χωριστόν ἐστι τοῦ κατ᾽ εἶδος μεγέθους, οὕτω τοι καὶ ἡ ὕλη τῶν εἰδικῶν διακέκριται διαστάσεων. ὥσπερ δὲ πάλιν τὸ διάστημα οὐκ ἀδιαίρετον ἐστιν, ἀλλ᾽ ἔκτασιν ἴσχει, οὕτως ἡ ὕλη οὐκ ἀμερής ἐστι καὶ δίχα παντὸς ὄγκου, ἀλλὰ ποσότητα ἔχει καὶ διαστάσεις. ὅσοι τοίνυν τῶν πάλαι καὶ νεωτέρων τοιουτοτρόπως τὴν ὕλην σῶμα ὑπέλαβον, ὡς παρωνύμως παρὰ τῆς ποσότητος λεγομένην τῆς ἀληθείας οὐχ ἥμαρτον, τοιοῦτον τι καὶ τὸ χάος εἶναι τὸ παρὰ πολλῶν πλαττόμενον πρὸ τῆς τοῦ παντὸς διακοσμήσεως οἰητέον, δηλονότι ὁ τῆς ὕλης ὄγκος δυνάμενος ὁρισθῆναι τοῖς εἴδεσι, καὶ μορφωθῆναι σχήμασι πολυτρόποις. σαφέστερον δὲ καὶ Πορφύριος ταυτηνὶ τὴν δόξαν ἀποφαίνεται, τὴν ὕλην λέγων ποσὸν ἀνείδεον καθ᾽ ἑαυτὴν ἄτμητον, σχήματος ἄμοιρον, δεκτικὴν μέντοι σχήματος, καὶ εἴδους, καὶ διαιρέσεως, καὶ ποιότητος. ἴσως δὲ καὶ Πλάτων τῆς αὐτῆς ἐστι δόξης πανδεχὲς λέγων τὴν ὕλην, πῶς γὰρ ἂν ἦν δεκτικὴ ἀδιαίρετος οὖσα; εἰ δὲ καὶ Ἀμμώνιος τὰς ἐν ὕλῃ διαστάσεις οὐσιώδεις φησὶν καθ᾽ ὃν δηλαδὴ τρόπον συντελοῦσιν εἰς ἀπαρτισμὸν τῆς ὕλης, ἣ σχέσιν ἔσχηκε πρὸς τὰ εἴδη, οὐ διήμαρτε τοῦ ἀληθοῦς, καὶ γὰρ ἔνια τῶν συμβεβηκότων οὐσιώδη φαμέν, ὡς ἀδυνάτου ὄντος τοῦ ὑποκειμένου πράγματος ἄνευ ἐκείνων τηρῆσαι τὴν οἰκείαν αὐτοῦ οὐσίαν. Ταύτῃ φρονεῖ καὶ Σιμπλίκιος ὄγκον ὑλικὸν τὴν ὕλην λέγων καὶ οἷον ἀπεράτωτον μέγεθος. οὐδ᾽ Ἀλέξανδρος τἀναντία πρεσβεύει, τὸ μέγεθος γὰρ παρὰ τοῦ εἴδους ἀεὶ λαμβάνεσθαι λέγων, τὸ εἰδικὸν νοεῖ, τὴν δὲ ποσότητα ὁμολογεῖ τῇ ὕλῃ παρέπεσθαι. ἐμπεδοῦται δὲ καὶ λόγοις πολλοῖς τὸ δόγμα τοῦτο, ὥσπερ γὰρ φαμὲν τὴν ὕλην ἐνεργείᾳ εἶναι, ἀλλὰ μὴ παρὰ τοῦ εἴδους λαμβάνειν τὸ εἶναι οὐσίαν. διότι μεταβαλλομένων τῶν εἰδῶν σώζει τὸ εἶναι αὐτῆς ἡ ὕλη μὴ μεταβάλλουσα τὴν φύσιν αὐτῆς καθ᾽ οἱανδή τινα μεταβολὴν εἴδους, οὕτως ἐπειδὴ μεταβαλλομένων τῶν σχημάτων κατὰ τὴν τῶν εἰδῶν μεταποίησιν, σώζεται ἀεὶ ἡ αὐτὴ ποσότης, ἀνάγκη τὴν ἀόριστον ποσότητα ἀγέννητον

τιθέναι

Ε.Υ. Δήμης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τιθέναι καὶ ἄφθαρτον, εἰ δὲ τοιάδε τις ποσότης ἐστὶν ἐν τοῖς οὖσι, ποῦ ἂν ὑφεστηκέναι φαίη τις εἰ μὴ ἐν τῇ πρώτῃ ὕλῃ, ἥτις μόνη τῶν ὑπὸ ἁπάντων ἀγέννητός ἐστι καὶ ἄφθαρτος, τὸ δὲ ἀόριστον ποσὸν ἀγέννητον εἶναι καὶ ἄφθαρτον, οὐδεὶς ἂν ἔξαρνος γένοιτο. δεύτερον ἔτι δὲ ἡ ὕλη ἐκ φύσεως αὐτῆς ἐστὶν ὑποκείμενον, καὶ δεκτικὴ τῶν εἰδῶν, εἰ δὲ ἀμερής ἐστι καὶ ἄποσος καθ᾽ ἑαυτήν, πῶς ἂν εἴη ὑποκείμενον, ἢ πῶς καὶ τὰ διάφορα αὐτῆς μέρη πολυτρόπως ἂν εἰδοποιεῖσθαι δύναιτο. ἔστι τοίνυν ἡ ὕλη καὶ πρὸ τῶν εἰδῶν ποσή, ἵνα μὴ ἀδιαιρέτως ὑπολάβῃ τὰ εἴδη, μᾶλλον δὲ ἐπειδὴ τὰ οὐσιώδη εἴδη καθ᾽ ἑαυτὰ φαμὲν ἀδιαίρετα, διαιρεῖσθαι δὲ τῷ λόγῳ τοῦ ὑποκειμένου, εἰ τὸ ὑποκείμενον φαμὲν ἀδιαίρετον, ἐξ ἀνάγκης ἢ ἐξ ἀδιαιρέτων ἀμφοῖν οὐδὲν ἐγένετο ποσόν, ἢ τὸ εἶδος διαιρετὸν ὅμως, καὶ ἀδιαίρετον ἔσται. ὀρθῶς οὖν λέγεται ἐκτεταμένης οὔσης τῆς ὕλης, εἶτα ἐπιφοιτῶντος τοῦ εἴδους ποικίλως ὁρίζεσθαι. Τρίτον εἰ δὲ μὴ ἐν τῇ πρώτῃ ὕλῃ, ἀλλ᾽ ἐν τῇ συνθέτῳ οὐσίᾳ, ὥς φασιν ἡ ποσότης ἐστὶ παρεπομένη τῷ εἴδει, πῶς ἔστι κατὰ τὸν Ἀριστοτέλην ἡ ψυχὴ ἀδιαίρετος. τὸ γὰρ συμβεβηκὸς ὅλον αὐτοῦ παρονομάζει τὸ ὑποκείμενον, ὥσπερ ὑπὸ τῆς λευκότητος λευκὸν λέγεται, ὅ,τι ἂν αὐτῇ ὑποκεῖσθαι τίθεται. Τέταρτον ἔτι δὲ ἀναγκαῖον ἦν τοῖς φάσκουσι γεννᾶσθαι τὴν ποσότητα ποιοῦντι διδόναι τοῦ τοιούτου ἀποτελέσματος, ὅ ἐστιν ἀδύνατον. πέμπτον εἰ δὲ καὶ γεννητὸν παρά τινος θείη τις ποιοῦντος πότερον, ἐν ἀδιαστάτῳ τῇ ὕλῃ, ἢ διαστατῇ; καὶ εἰ μὲν διαστατῇ, ὅπερ ζητούμενον ἔσται πρὸ τῆς ποσότητος ἡ διάστασις, εἰ δὲ ἀδιαστάτῳ πῶς φαίη τις ἐν ἀδιαιρέτῳ προσγίνεσθαι τὸ ποσόν. ὥστε φανερόν ἐστι παρέπεσθαι τῇ ὕλῃ τὸ ποσὸν πρὸ τῶν οὐσιωδῶν εἰδῶν. ὅθεν ὀρθῶς ἀφαιρεῖσθαι λέγεται τὸ ποσὸν παρὰ τῶν οὐσιωδῶν εἰδῶν. εἰ δὲ μεταγενέστερον εἴη τῶν οὐσιωδῶν εἰδῶν, πῶς ἂν τῶν προτέρων ἀφαιρεθείη τὸ ὕστερον; διὸ δὴ ὡς οὔσης τῆς ποσότητος προτέρας τῶν οὐσιωδῶν, εἰδῶν καλῶς περὶ αὐτὴν ἡ Μαθηματικὴ καταγίνεται ἐπιστήμη. Ἔτι δὲ πᾶν τὸ ἄφθαρτον ἀγέννητόν ἐστιν. ἔστι δὲ ἡ ὕλη ἄφθαρτος, οὐ γὰρ ἔχει ἐναντίον, ἄρα καὶ ἀγέννητος. καὶ διὰ τοῦτο ἐν πᾶσι τοῖς γιγνομένοις καὶ φθειρομένοις ὑπομένει. ὅθεν καὶ Ἀριστοτέλης πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς μορίῳ κδʹ. τὰ κοινὰ τοῖς γιγνομένοις καὶ φθειρομένοις συμβεβηκότα ὑπομένειν φησὶν οὔτε τῷ γιγνομένῳ καὶ φθαρέντι, ἔστι δὲ ἡ ποσότης κοινή, πᾶσι τοῖς οὖσιν, ὥσπερ καὶ ἡ ὕλη. πρὸς τούτοις ὁ Ἀριστοτέλης τὴν μὲν ἀπειρίαν τῆς ποσότητος παρὰ τῆς ὕλης εἶναί φησι, τὸν δὲ ὁρισμὸν παρὰ τοῦ εἴδους, τοιούτων οὖν καὶ τοσούτων λόγων, τὸ παρὸν δόγμα συνιστώντων πολλοί τινες ἀπρὶξ ἀντέχονται τῆς ἐναντίας γνώμης, ὧν ἐπιλύσαι τοὺς λόγους εἰς μείζονα συμβάλλεται κατάληψιν τῶν λεγομένων.



ΙΩΑΝΝΙΝΑ 2006

## Ἀπορίαι καὶ λύσις.

Ὅσοι δὲ τὴν ὕλην ἀδιάστατον οἴονται. τὸ δὲ ποσὸν φθαρτόν τε ἁπλῶς, καὶ ἀεὶ τοῖς εἴδεσι συμφυόμενον λόγοις τοιούτοις σαλεύουσι. πρῶτον γὰρ Ἀριστοτέλης ἐν τῇ τῆς οὐσίας κατηγορίᾳ πάντα τίθησιν ἢ λέγεσθαι κατὰ τῆς πρώτης οὐσίας, ἢ ἐν αὐτῇ εἶναι, αἱ μὲν γὰρ δεύτεραι οὐσίαι κατὰ τῆς πρώτης λέγονται, τὰ δὲ συμβεβηκότα ἐν αὐτῇ ἐστιν, ὅθεν καὶ τῶν πρώτων οὐσιῶν ἀναιρουμένων μηδὲν ἐπιλείπειν φησὶ τῶν ἄλλων. ἐξ ὧν ἰδεῖν ἐστιν ὑποκείμενον εἶναι κατὰ τὸν Φιλόσοφον τῶν συμβεβηκότων ἁπάντων τὴν πρώτην οὐσίαν ἤτοι τὸ σύνθετον, τὴν δὲ ποσότητα τίς ἐξαιρήσει τῶν συμβεβηκότων; ἄρα ἐν τῷ συνθέτῳ ἐστὶν, ὥστε μὴ καλῶς λέγεσθαι προηγεῖσθαι τοῦ εἴδους. πρὸς ταῦτα δὲ ἀπαντῶντες φαμὲν, ἀληθῶς ἐν τῇ πρώτῃ οὐσίᾳ λέγεσθαι τὰ συμβεβηκότα πάντα ὡς ὀνομαζομένη ὑπ' αὐτῶν, οὐ μὴν ὅτι οὐκ ἔστι τῶν συμβεβηκότων, ὃ καὶ τῇ ὕλῃ ἀμέσως ἐνυπάρχει. καὶ γὰρ ἐπειδὴ μέρος ἐστὶν ἀεὶ τῶν πρώτων οὐσιῶν ἡ ὕλη, καὶ μηδέπη τὶς ἂν αὐτὴν εὕροι ἔξω τῶν συνθέτων, καὶ τὰ ἐν τῇ ὕλῃ ὑπάρχοντα συμβεβηκότα ἐν τῷ συνθέτῳ εἶναι τίς ἀποφαίη; διά τοι τοῦτο ἀναιρουμένων τῶν πρώτων οὐσιῶν ἥ, τε ὕλη, καὶ ἡ μορφὴ, καὶ τὰ εἴδη καὶ τὰ γένη συναπόλλυνται, ἅμα δὲ καὶ τὰ συμβεβηκότα πάντα, καί τοι μὴ τῇ συνθέσει παρεπόμενα, ἀλλ' ἐν αὐτῇ ὄντα τῇ ὕλῃ, ἐπειδὴ γὰρ ἥ, τε ὕλη καὶ ἡ μορφὴ καὶ τὰ συμβεβηκότα ἕνεκεν τῆς πρώτης εἰσὶν οὐσίας, ταύτης ἀναιρεθείσης μάτην ἂν ἀπολείποι τὰ ἄλλα. δεῖ ὅμως εἰδέναι, ὅτι καὶ τῶν κατὰ μέρος συνθέτων ἀπολλυμένων τὰ ἐν αὐτοῖς συμβεβηκότα πάντα φθείρεται. Δεύτερον ἐν τῷ ἑβδόμῳ τῆς πρώτης Φιλοσοφίας μορίῳ, δ'. ἡ σύνθετος οὐσία, προτέρα παντὸς λέγεται συμβεβηκότος, λόγῳ, Φύσει, καὶ χρόνῳ, ἄρα καὶ πάσης ποσότητος. ἔστι δὲ ἀεὶ ἡ πρώτη οὐσία φθαρτὴ, ἄρα καὶ ἡ ποσότης. πρὸς ὃ δὴ ἀπαντῶμεν τὴν σύνθετον οὐσίαν προτέραν εἶναι τῶν οἰκείων αὐτῇ συμβεβηκότων, οὐ μὴν ἁπλῶς πάντων, πῶς γὰρ ἂν καὶ λέγοιτο τὰ φυτὰ πρότερα τῶν στοιχειωδῶν συμβεβηκότων. ἔστι τοιγαροῦν ἡ πρώτη οὐσία προτέρα τῆς ὡρισμένης ἐν αὐτῇ ποσότητος, οὐ μήν γε πασῶν τῶν ἐν ὕλῃ διαστάσεων. ἔτι δὲ ἀληθὲς ἐστὶ τὸ λεγόμενον ὑπὸ τοῦ Φιλοσόφου, οὐχ ὡς τῆς πρώτης οὐσίας ὁμοῦ λόγῳ καὶ φύσει καὶ χρόνῳ ἡγουμένης πάντων τῶν συμβεβηκότων, ἀλλ' ὡς τῶν μὲν χρόνῳ οἷον τῶν ἐπανθέντων αὐτῆς τῷ εἴδει, τῶν δὲ λόγῳ καὶ γνώσει, οἷον τῶν μεταβολῶν αὐτῆς, τῶν δὲ φύσει καὶ τελειότητι, καὶ τουτονὶ τὸν τρόπον ὀρθῶς ἂν καὶ τῆς ἀορίστου ποσότητος προτέρα λέγοιτο. Τρίτον ἐν τῷ πέμπτῳ τῆς Φυσικῆς Ἀκροάσεως



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μοριῶν ἡ, τὸ τῆς αὐξήσεως ὑποκείμενον, ἤτοι τὴν πρώτην ὕλην μὴ εἶναι ἐν τόπῳ φησὶν ὁ Φιλόσοφος. εἰ δ' αὖ ἡ ὕλη ποσὴ ἦν, οὐδὲν κωλύει μὴ εἶναι ἐν τόπῳ, ὁ γὰρ τόπος ἀεὶ παρέπεται τῷ ποσῷ. Εἰς ἀνάπτυξιν οὖν τοῦ ῥηθέντος τεμμαχίου δεῖ εἰδέναι, ὅτι διχῶς οἱ τοῦ Ἀριστοτέλους ὑπομνηματισταὶ τὴν περικοπὴν ταύτην ἐκτίθενται, οἱ μὲν γὰρ τὸ ὃ γίγνεταί φασι τὸ σύνθετον, ὃ μήπω ἐστὶν ἐνεργείᾳ, οὐδὲ ἐν τόπῳ, οἱ δὲ τὸ ὃ γίγνεται νοοῦντες τὴν ὕλην, μὴ εἶναι λέγουσιν ἐν ὡρισμένῳ τόπῳ, οὕτως γὰρ ταῖς ποιότησι παρακολουθεῖ, οἷον τῷ μὲν θερμῷ ὁ ἄνω, τῷ δὲ ψυχρῷ ὁ κάτω, ὅθεν ὥσπερ ἡ ὕλη ἀορίστως ἐστὶ ποσή, οὕτω τοι καὶ ἀορίστως ἐν τόπῳ τίθεσθαι, τὸ δὲ κινούμενον ὀφείλειν ἐν τόπῳ ὑπάρχειν ὡρισμένῳ. Ἔτι δὲ ἐρεύνης ἄξιον πῶς ὁ αὐτὸς Φιλόσοφος πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς τὸ γιγνόμενον ἀνάγκη φησὶν ἐν τόπῳ εἶναι, καίτοι πέμπτῳ Φυσικῶν μὴ εἶναι ἔλεγεν ἐν τόπῳ, ἐπειδὴ γὰρ ἀδύνατον ἐστὶν αὐτὸν ἑαυτῷ ἀντίφθογγον εἶναι καλῶς λέγεται παρά τινων ὑπομνηματιστῶν, ὅτι ἡ ὕλη καθ' ἑαυτὴν μὲν οὐκ ἔστιν ἐν τόπῳ, οὔτε γὰρ σῶμα ἐστίν, οὔτε ποιά, κατὰ συμβεβηκὸς δέ ἐστι πρῶτον μὲν ἡ ποσή, δεύτερον δὲ ἢ μέρος τοῦ συνθέτου. τρίτον δὲ ὡς ἤδη ταῖς ποιότησι διατεθειμένη. Τέταρτον κατὰ τὸν Φιλόσοφον ἡ ὕλη ἀεὶ ἐν ἀντιφάσει ἐστὶ πρὸς ὁτιοῦν εἶδος ἔνυλον, ἄρα καὶ ποσὴ ἐνδέχεται εἶναι, καὶ μὴ εἶναι, ὥστε μηδὲν εἶναι ποσὸν ἀΐδιον, τὸ γὰρ ἐνδεχόμενον ἔστιν ὅτε φθαρήσεται. ἐπιλύεται δὲ τοῦτο ῥᾷστα. ἐν ἀντιφάσει γάρ φαμεν εἶναι τὴν ὕλην πρὸς τὰ οὐσιώδη εἴδη, οὐ μὴν πρὸς τὰ ἐν αὐτῇ ἀχωρίστως ὄντα συμβεβηκότα. τούτων γὰρ ἀδύνατον ἐστὶν ἀποξενωθῆναι, ὥσπερ οὐδὲ τοῦ γελαστικοῦ χωρὶς ὁ ἄνθρωπος γένοιτο. Πέμπτον τὸ αὐτὸ εἶναι χρὴ αὐξήσεώς τε καὶ ποσότητος ὑποκείμενον. ἔστι δὲ τὸ σύνθετον αὐξητόν, ἄρα καὶ τοῦ ποσοῦ ὑποκείμενον. ἀεὶ γὰρ ἡ αὔξησις τῷ λόγῳ τοῦ εἴδους γίγνεται, ὡς εἴρηται Ἀριστοτέλει δευτέρῳ περὶ ψυχῆς, καὶ πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς. ἀλλ' ἐπειδὴ ἡ αὔξησις οὐ πρὸς ἀόριστόν ἐστι ποσόν, ἀλλὰ πρὸς ὡρισμένον καὶ ἁρμόζον τῇ τοῦ αὐξάνοντος φύσει, ὀρθῶς τὸ ἐνεργείᾳ ὂν τῆς αὐξήσεως ὑποκείμενον τίθεται, τοῦτο γὰρ καὶ τῶν ὡρισμένων διαστάσεων ὑποκείμενον εἶναι πάντες ὁμοφώνως φασί. Ἕκτον διαφέρειν τῶν κατὰ συμβεβηκὸς εἰδῶν τὰ κατ' οὐσίαν εἴδη, μάλιστα λέγεται, ὅτι τὰ μὲν ἐν τῷ δυνάμει ὄντι εἰσί, τὰ δὲ ἐν τῷ ἐνεργείᾳ. πῶς οὖν ἐν τῇ ὕλῃ τάττεται τὸ ποσόν; ἢ ὅτι τῶν ὡρισμένων συμβεβηκότων τὰ κατ' οὐσίαν εἴδη λέγεται τουτονὶ διενηνοχέναι τὸν τρόπον, ταῦτα γὰρ ἐν τῷ ἐνεργείᾳ ὄντι ὑπάρχει. Ἕβδομον κατὰ τὸν Ἀβεῤῥώην πᾶν τὸ σύνθετον ὑστερογενές ἐστι καὶ οὐκ ἀΐδιον, ἄρα καὶ τὸ ἐξ ὕλης, καὶ τῶν ἀορίστων διαστάσεων συγκείμενον οὐκ ἀΐδιον ἔσται, ἢ πᾶν σύνθετον κυρίως, οἷον ἐστὶ πᾶν τὸ



Ε.Υ.Σ. ΙΩΑΝΝΙΝΑ 2006

ἐξ ὕλης καὶ εἴδους συνισάμενον ὑςερογενὲς λέγεται κατὰ τὸν Ἀβιῤῥόην. οὐ μὴν ἁπλῶς, καί τοι ἡ ῥῆσις αὐτὴ μείζονος δεῖται ἀναπτύξεως, ὡς εἴρηται ἐν τοῖς περὶ οὐρανοῦ, καθάπαξ γὰρ οὐκ ἀληθεύει. Ὄγδοον τὸ καθ᾽ αὑτὸ ὂν ἀεὶ τοῦ κατὰ συμβεβηκὸς ἐστι πρότερον, ἄρα καὶ τὸ ἐξ ὕλης καὶ εἴδους συνεςὸς πρότερον ἔςαι τοῦ ἐξ ὕλης καὶ ποσοῦ συγκειμένου. ἢ ὅτι ἁπλῶς τὸ καθ᾽ αὑτὸ ὂν πρότερόν ἐστι τοῦ κατὰ συμβεβηκὸς, ἐπὶ δὲ τῶν κατὰ μέρος γιγνομένων οὐδὲν ἄτοπόν ἐστι πολλὰ τῶν κατὰ συμβεβηκὸς προηγεῖσθαι τοῦ κατ᾽ οὐσίαν ὄντος. Ἔννατον ἐπὶ τῶν ἀραιώσεων σαφῶς μέρος τι ποσοῦ προσγίνεται, τῷ ἀραιουμένῳ, ὥσπερ καὶ ἐπὶ τῶν πυκνουμένων μέρος τι ποσότητος φθείρεται, ἄρα γεννητή ἐστι καὶ φθαρτὴ ἡ ποσότης. ἀλλ᾽ εἰδέναι δεῖ, ὅτι ἐπὶ τῆς ἀραιώσεως καὶ πυκνώσεως ὥσπερ οὐδὲ ὕλης τι μέρος γίνεται ἢ φθείρεται, οὕτως οὐδὲ τῆς ποσότητος, ἀλλ᾽ αὐτὴ ἡ ποσότης μεταβαλλομένη κατὰ τοὺς ὅρους μᾶλλον ἐκτείνεται ἢ συσφίγγεται. Δέκατον, τελευταῖον τὸ συμβεβηκὸς ἀεὶ διὰ τοῦ οἰκείου ὑποκειμένου ὁρίζεσθαι ὀφείλει, τὸ δὲ ἀόριστον ποσὸν ἀδύνατόν ἐστιν ὁρισθῆναι διὰ τῆς ὕλης, ὁ γὰρ ὁρισμὸς φιλεῖ διὰ τῶν σαφεστέρων γίγνεσθαι. ἡ δὲ ὕλη ὅλως ἐστὶν ἄγνωστος ὡς μεμαρτύρηται τῷ Φιλοσόφῳ ἑβδόμῳ τῶν μετὰ τὰ Φυσικὰ μορίῳ, λέ. πρὸς ταῦτα δὲ φαμὲν ἄγνωστον μὲν εἶναι τὴν ὕλην ὡς πρὸς τὰ εἴδη, ἔστι γε ὅμως τοῦ ἀορίστου ποσοῦ σαφεστέρα, ὅθεν καλῶς ἂν ὁρίζοιντο αἱ ἀόριστοι διαστάσεις διὰ τῆς ὕλης ἐν ᾗ ὑπάρχουσιν. ἔστι γὰρ ἀόριστον ποσὸν τὸ μηδενὶ σχήματι ὁριζόμενον, ἀλλ᾽ ἐν τῇ δυνάμει ὄντι ὑπάρχον διατίθησι τοῦτο, ὥστε διαφόρως κατὰ τὰ μέρη αὐτοῦ ταῖς κατ᾽ οὐσίαν εἰδοποιεῖσθαι μορφαῖς. καὶ ταῦτα μὲν ἀποχρώντως περὶ τῆς προκειμένης ἀπορίας εἰρήσθωσαν, μᾶλλον δὲ διασαφηθήσεται ταῦτα καὶ τοῖς ἑξῆς εἰρησομένοις.

## „ Πότερον εἰσὶν ἐν τῇ ὕλῃ ἀρχαί τινες καὶ σπέρματα τῶν εἰδῶν.

ἘΠειδὴ γνώμη κοινὴ πάντων τῶν πάλαι Φιλοσόφων φιλοσοφησάντων ἐκ τοῦ μηδενὸς μηδὲν γίγνεται, θαυμάζουσι τινὲς πῶς ἐνδέχεται τὰ εἴδη ἐκ τοῦ μηδενὸς παράγεσθαι. ὅθεν ἐν τῇ ὕλῃ οἱονεὶ ῥίζας τινὰς καὶ σπέρματα καὶ ἀρχὰς τιθέασι τῶν εἰδῶν ἐκ τούτων ἐξαρυῶντες τὰ εἴδη. φασὶ γὰρ ἐπειδὴ τῆς ὕλης ἐξάγεται παρὰ τοῦ ποιοῦντος τὰ εἴδη, ἢ πρότερον ἐνδομυχοῦσιν αὐτῇ τὰ εἴδη, ἢ μηδαμῶς, καὶ εἰ μὲν οὐκ ἐνυπάρχουσιν, οὐδὲ ἐξάγεσθαι λέγονται καλῶς, ἢ ἐκ τοῦ μηδενὸς παράγονται. ἡ γὰρ προϋποκειμένη ὕλη μέρος οὐθέν ἐστι τοῦ εἴδους, εἰ δὲ ἐνυπάρχουσιν ἐπειδήπερ οὔπω τέλεια εἰσιν ὀρθῶς λέγονται κατα-

βολαὶ

Ε.Υ. Δ... ΙΩΑΝΝΙΝΑ 2006

βολαὶ τῶν εἰδῶν, ἃς οὐκ ἐγνωκότες τινὲς ἢ μετὰ τοῦ Φιλοπόνου πλάττεσθαί φασι παρὰ τοῦ δημιουργοῦ τοῦ παντὸς, ἢ μετὰ τοῦ Ἄραβος Ἀβικέννα παρὰ τῆς παραστατικῆς μορφῆς τοῦ κόσμου εἰσάγεσθαι εἰς τὴν ὕλην ἐπιτηδείως ἤδη ἔχουσαν πρὸς ὑποδοχήν. ὀρθῶς οὖν ἔχει τὰς καταβολὰς τῶν εἰδῶν ἐν τῇ ὕλῃ τιθέναι, ἵνα μὴ εἰς τὴν ἐκ μηδενὸς προαγωγὴν ἐξοκείλωμεν. ὅθεν ὁ Ἀβερρόης τὸ ποιοῦν οὐ πλῆθος φησὶ δίδωσιν, ἀλλὰ τελειότητα. τιθεμένων οὖν ἐξ ἀνάγκης τῶν εἰδικῶν τούτων σπερμάτων διενηνόχασί τινες περὶ τὸν τρόπον. οἱ μὲν γὰρ ἀμφὶ Ἀναξαγόραν συγκεχυμένως ἐτίθεσαν ἐν τῷ χάει τὰ εἴδη, ὥστε διακρίνεσθαι μόνον παρὰ τοῦ δημιουργικοῦ νοὸς, οἱ δὲ Ἀκαδημαϊκοὶ συναϊδίους ἔλεγον εἶναι τῇ ὕλῃ τὰς καταβολὰς τῶν εἰδῶν εἰς φῶς προαγομένας κατὰ τὰς ἐν τῷ νῷ ἰδέας ὑπὸ τῆς ψυχῆς τοῦ παντός. οἱ δὲ Ἀριστοτελικοὶ σπέρματα μόνον τῶν ζώντων εἰδότες, ἵνα μὴ ἐκ τοῦ μηδενὸς παράγωσι τὰ εἴδη, οἱ μὲν κοινὸν εἶδος καὶ γενικὸν ἐτίθεσαν τὸ σωματικὸν εἶδος ὡς ἀπαρχὴν πάντων τῶν εἰδῶν, οἱ δὲ τὸ σωματικὸν ἀνασκευάζοντες εἶδος ὁμοειδεῖς τινὰς καταβολὰς πάττουσι τῶν εἰδῶν ἐν τῇ ὕλῃ τὴν τελείωσιν τούτων γένεσιν εἶναι νομίζοντες, ἀλλ' οὐκ οἶδα τῷ τρόπῳ φαῖεν οὗτοι τὴν κατ' οὐσίαν γένεσιν μεταβολὴν εἶναι τοῦ ὅλου εἰς ὅλον προϋπαρχούσης ἀεὶ τῆς εἰδικῆς ἀρχῆς ἐν τῇ ὕλῃ. Ἔνιοι δὲ αὐτὴν τὴν ὕλην φασὶ τελειουμένην γίγνεσθαι τὰ πράγματα, καθάπερ καὶ τὰ παιδία ἄνδρες αὐξανόμενα γίνονται, ἐξ ὧν ἕπεται μηδὲν εἶναι τῶν ὄντων ἁπάντων σύνθετον, ὡς μὴ πράγματι διακρινομένου τοῦ εἴδους τῆς ὕλης. οὔτε γὰρ ἀνδρωθέντα τὰ παιδία σύνθεσιν λαμβάνει. τούτων οὖν ἀπαρεσκόντων, εἰς διακρίνειαν τοῦ προκειμένου ζητήματος διαιρέσεις τινὰς ἀποσημειῶσαι χρή. ἡ γὰρ ἀρχὴ τοῦ εἴδους ἢ εἰς τὸ σύνθετον ἀναφέρεται ὃ καὶ κυρίως γίγνεται, ἢ εἰς τὸ εἶδος καὶ τὸν πρὸς ὃν ὅρον, ἥτις ἡ κυρίως ἐστὶν ἀρχὴ, καὶ μέρος τι τοῦ ἐπελευσομένου εἴδους, ἢ κοινότερον οὕτω λέγεται ἀντὶ τῆς οὑτινοσοῦν διαθέσεως, ἀρχαὶ γὰρ καὶ αἱ διαθέσεις τοῦ γενησομένου εἴδους, κοινότερον οὖν λαμβανομένης τῆς ἀρχῆς τῶν εἰδῶν, εἴτε κοινή τις ἐστὶ καὶ ἀδιάφορος διάθεσις, εἴτε ὡρισμένη καὶ ἰδία τοῦ προσεχῶς ἀναφυῶντος εἴδους, τούτων οὕτως ἐκτεθέντων κείσθω πρῶτον, ὅτι ὀρθῶς ἀρχὴ τοῦ συνθέτου λέγεται ἡ ὕλη οἱονεὶ κρηπὶς οὖσα καὶ βάσις πάσης συνθέσεως. δεύτερον ὅτι οὐδεμία ἐστὶν ἀρχὴ εἴδους οἱονεὶ μέρος τούτου προϋπάρχον ἐν ὕλῃ, παντοίας γὰρ εἰδῶν καταβολὰς ἐν τῷ δυνάμει ὄντι πάττοντες, μήτιγε ἁπλῆν ἀλλὰ πολυσύνθετον ἀναγκαζόμεθα φάναι τὴν ὕλην. τρίτον καλῶς ἀρχὴ εἴδους λέγεται πᾶσα διάθεσις. ἡ μὲν γὰρ ἀόριστος ἐν ὕλῃ διάστασις ἀρχή ἐστι τῶν μεγεθῶν. ἡ δὲ ἐπιτηδειότης δεκτικὴν καθίστησι τὴν ὕλην τῶν εἰδικῶν διαφορῶν, μάλιστα δὲ καταβο-

λαὶ

ΙΩΑΝΝΙΝΑ 2006

λαὶ τῶν εἰδῶν αἱ προσεχεῖς ἂν λέγοιντο διαθέσεις, τὰ πολλὰ γὰρ αὗται τελειωθεῖσαι συνιστῶσι τὸ εἶδος, πῶς δὲ τούτων οὕτως ἐχόντων οὐ λέγεται τὰ εἴδη ἐκ τοῦ μηδενὸς παράγεσθαι, καὶ γὰρ μέρος αὐτῶν οὐδὲν εἴρηται προηγεῖσθαι. ἢ ὅτι κυρίως μὲν γίγνεται τὸ σύνθετον. καὶ περὶ τούτου μάλιστα λέγεται τὸ ἐκ μηδενὸς μηδὲν γίγνεσθαι. τὰ δὲ εἴδη πῇ μὲν ἐκ μηδενὸς γίνεται κατὰ τὸν Φιλόσοφον καὶ εἰς τὸ μηδὲν ἀπέρχεται, οὐ μὴν λέγεται διὰ τοῦτο πλάττεσθαι, ἡ γὰρ πλάσις ὅλου τινός ἐστιν ἐκ μηδενὸς ὑποκειμένου προαγωγὴ, πῇ δὲ ἐξ ὄντος γιγνόμενα κατὰ μεταβολὴν τῆς ὑποκειμένης φύσεως. ἔτι δὲ διαφέρει τῆς ἀῤῥήτου πλάσεως ἡ τῶν εἰδῶν γένεσις, τῶν γὰρ εἰδῶν ἀεὶ προηγεῖται ὁ ἐξ οὗ ὅρος, τῆς δὲ διαπλάσεως οὐδείς ἐστιν ὅρος ἐξ οὗ, ὥσπερ οὖν ἐν τοῖς κατὰ τέχνην οὐδεὶς ἂν λέγοι ἐκ τοῦ μηδενὸς παράγεσθαι τὰς μορφὰς ἀλλὰ μετασχηματίζοντα τὸν τεχνίτην τὴν ὑποκειμένην αὐτῷ ὕλην. ἢ ἐκ λίθου ἀνδριάντα ποιεῖν, ἢ ἐκ χρυσοῦ δακτύλιον, καίτοι μηδενὸς μέρους τῆς μορφῆς προηγουμένου ἐν τῇ ὕλῃ ἐνεργείᾳ, ἀλλὰ δυνάμει μόνον, οὕτως ἐν τοῖς κατὰ φύσιν τὰ ποιοῦντα κατὰ μεταβολὴν τῆς ὕλης παράγοντα τὸ εἶδος καίτοι μὴ πρότερον ὂν ἐνεργείᾳ, οὐκ ἂν λέγοιτο ἐκ τοῦ μηδενὸς αὐτὰ κατεργάσασθαι, ἡ γὰρ αὐτὴ ὕλη τῷ τῆς γῆς εἴδει μορφωμένη τῇ τοῦ ποιοῦντος ἐνεργείᾳ κατὰ σμικρὸν ἀραιουμένη τε. καὶ θερμαινομένη κούφη γίγνεται. ὥστε μηδαμῶς ἐκ τοῦ μηδενὸς γενέσθαι τὴν ἐν αὐτῇ θερμότητα, ἀλλ' αὐτὴν δὴ τὴν ὕλην τεθερμάνθαι μεταβληθεῖσαν ἐκ τῆς ψυχρότητος, καὶ ταῦτα μὲν ἅλις περὶ τούτων.

## Τίσι διενήνοχε τοῦ γένους ἡ ὕλη καὶ τίσι κοινωνεῖ;

ΤΑ'ς μεταξὺ γένους καὶ ὕλης διαφορὰς, καὶ τὴν ἐν αὐτοῖς κοινωνίαν ἀποδίδωσιν ὁ Ἀφροδισιεὺς περὶ φυσικῶν σχολίων κεφ. ἐσχάτῳ τοῦ β. βιβλίου. κοινωνεῖ μὲν γὰρ τοῦ γένους ἡ ὕλη, πρῶτον ὅτι ἀμφότερα ἐν πολλοῖς εἰσί. δεύτερον ὅτι καθάπερ τὸ γένος πρότερόν ἐστι τῶν διαφορῶν καὶ εἰδῶν, οὕτως ἡ ὕλη ἀρχοειδεστέρα τῶν εἰδῶν ἐστι καὶ τῶν συνθέτων ἁπάντων ἡγεῖται. τρίτον ὥσπερ ἡ ὕλη δυνάμει ἐστὶ πρὸς τὰ εἴδη ὡς οἷά τε οὖσα τελεῦσθαι παρ' αὐτῶν, οὕτω τοι καὶ τὸ γένος φιλεῖ ταῖς συστατικαῖς διαφοραῖς, ὧν ἐστι δεκτικὸν ὁρίζεσθαι. τέταρτον καθάπερ ἐκ τοῦ γένους προσγινομένης τῆς διαφορᾶς τὸ εἶδος συνίσταται, οὕτως ἐκ τῆς ὕλης σύγκειται τὸ σύνθετον ἐπιφοιτήσαντος τοῦ εἴδους. πέμπτον οὔτε τὸ γένος οὔτε ἡ ὕλη χωρὶς ὑπάρχειν ἐνδέχεται τῶν εἰδῶν, καὶ διαφορᾶς, ἀλλ' ἀεὶ ὥσπερ τὸ γένος μετὰ τῶν διαφορῶν ἐν τοῖς εἴδεσιν ἐστὶν, οὕτως ἡ ὕλη μετὰ τῶν εἰδῶν ἐν τοῖς συνθέτοις ὑπάρχει. διακρίνεται δὲ τοῦ γέ-



Ε.Υ.Δ της Κ.Μ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νους ἡ ὕλη. πρῶτον ὅτι ἡ μὲν ὕλη σώζει τὴν ταυτότητα τῆς φύσεως ἐν τῷ ὑποκεῖσθαι τοῖς εἴδεσι, τὸ δὲ γένος ἐν τῷ κατηγορεῖσθαι καὶ τῶν ὑφ' αὐτό. δεύτερον ὅτι ἡ ὕλη ἄφθαρτός ἐστι καὶ πάντα τὰ μέρη αὐτῆς, καὶ γὰρ καὶ ἡ ἐν τοῖς ἀτόμοις ὕλη μετὰ τὴν φθορὰν αὐτῶν ὑπομένει, τὸ δὲ γένος αὐτὸ μὲν καθ' ἑαυτό, καὶ ὡς γενικὴ φύσις λαμβανόμενον ἄφθαρτόν ἐστιν, ἐν δὲ τῇ φθορᾷ τῶν κατὰ μέρος ἀπόλλυται. τρίτον ἡ μὲν ὕλη πᾶσά τε ἅμα, καὶ καθ' ἕκαστον αὐτῆς μόριον δεκτική ἐστι τῶν ἐναντίων παρὰ μέρος, τὸ δὲ γένος πᾶν μὲν αὐτοῦ κοινόν ἐστι καὶ δεκτικὸν τῶν διαφορῶν, τὰ δὲ μέρη τούτου οὐ κοινά ἐστιν, ἀλλ' ἀεὶ σώζεται καὶ σώζει τὴν οἰκείαν διαφορὰν ἐν μηδενὶ ἄλλῳ θεωρεῖσθαι οἷά τε ὄντα. τέταρτον ἡ μὲν ὕλη μέρος ἐστὶ τοῦ ὄντος, καὶ πρᾶγμα τοῖς εἴδεσιν ὑποκείμενον, καὶ συντελοῦν εἰς τὸ εἶναι αὐτῶν. οὐδέν τι ὅμως τοῦ λόγου τῆς οὐσίας αὐτῶν, ἢ τῶν συνθέτων ἀποδηλοῦν. τὸ δὲ γένος ἔστι μὲν ἐν τοῖς οὖσιν, ἀλλ' οὐχ ὡς ὄντι πρᾶγμα τῷ ἀριθμῷ πράγματι τῶν διαφορῶν διακρινόμενον, ἀλλ' ὡς φύσις τις κοινὴ τῷ λόγῳ ἀντιπαραστελλομένη τῶν ὑφ' αὐτήν, διό τισιν εἴρηται ὅτι ἐν τῷ νοεῖσθαι τὸ κοινὸν ἔχει τὸ γένος. ὅσα γὰρ τῷ λόγῳ διαστέλλεται τούτων ἡ διάκρισις διὰ τῶν ὁρισμῶν ἐκφωνῆς γινομένη ὀρθῶς ἂν λέγοιτο ὑπὸ τοῦ νοὸς διακρίνεσθαι. Πέμπτον ἡ ὕλη ἀεὶ τῆς συναμφοτέρου οὐσίας τὸ ἕτερον ἐστὶ μόριον, διὸ καὶ σώζεται χωριζόμενον ἐν τῇ φθορᾷ τοῦ συνθέτου. τὸ δὲ γένος καὶ ἐν ἁπλοῖς ἐστι, τὰ γὰρ εἴδη καὶ γένη τῶν συμβεβηκότων ἁπλᾶ εἰσί. διὸ δὴ ἡ ὕλη μέρος ἐστὶ τοῦ συνθέτου ἀεί, οὐ μὴν ὕλην εὕροι τις ἐν τῷ ἑτέρῳ μέρει τοῦ συναμφοτέρου, τὸ δὲ γένος ἔστι μὲν ἐν τοῖς συνθέτοις ἐξ ὑποκειμένου καὶ ποιότητος, καὶ ποσότητος, ἔστι δὲ καὶ ἐν τοῖς μέρεσι τούτων. ἕκτον, ἡ μὲν ὕλη ἁπλῆ τε ἐστὶ καὶ ἀτελής, τὸ δὲ γένος οὐσία ἐστὶ τελεία καὶ ὁλόκληρος. τελευταῖον ἐν τῷ γένει γίνεται τὸ μέρος αὐτοῦ τὴν τοῦ γένους συμπληροῦν φύσιν, αἱ δὲ διαφοραὶ αὐτὸ τὸ κοινὸν τοῦ εἴδους διαιροῦσαι εἰσὶν αἱ τῷ γένει συντιθέμεναι, διὸ τὸ μὲν γένος ἀχώριστον τούτων ὧν ἐστι γένος, καὶ συμφθειρόμενον αὐτοῖς, καὶ οὐκ εἰδῶν, ἀλλὰ μέρους αὐτῶν δεκτικόν, ἡ δὲ ὕλη κατὰ τὸν οἰκεῖον λόγον ἐνεργείᾳ οὖσα πάντων τῶν εἰδῶν ἐστὶν ἀδιαφόρως δεκτική.



ΙΩΑΝΝΙΝΑ 2006